BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Sala 1 Est. 31 Tab. 2 Núm. 13

C.

paraphrases tesmini

1ª
11728

~~Num. 31. cax. 5. num. 58.~~ 20

dam

b15825609

# ΤΑ ΤΟΥ ΘΕΜΙΣΤΙΟΥ

ΕΥΦΡΑΔΟΥΣ ΑΠΑΝΤΑ, ΤΟΥΤΕΣΤΙ ΠΑΡΑ-
ΦΡΑΣΕΙΣ, ΚΑΙ ΛΟΓΟΙ.

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΠΕΡΙ ΨΥΧΗΣ ΒΙΒΛΙΑ ΔΥΟ,
ΚΑΙ ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΕΝ.

# OMNIA THEMISTII

OPERA, HOC EST PARAPHRASES,
ET ORATIONES.

ALEXANDRI APHRODISIENSIS LIBRI DVO
DE ANIMA, ET DE FATO VNVS.

AL DVS.

Quæcunq; hoc uolumine continentur, ne à quoquam Venetiis, aut alio
Venetæ ditionis loco imprimantur, uel alibi impressa
uendantur, cautum est S.V.D.

M D XXXIIII.

GASPARI CONTARENO SENATO-
RI OPTIMO ET CLARISSIMO
VICTOR TRINCAVEL-
LVS MEDICVS S.

CVm præclara illa, & celebris Aldi Manutii officina, quæ semper bonorum librorum elegantem supellectilem uiris studiosis ut copiose, ita feliciter sumministrauit, magnifice & clarissime Gaspar, ob uarias eius morte, & mox Andreæ Asulani soceri, ut fit, subortas perturbationes, non sine maxima literatorum omniũ iactura, aliquot annis ferè destituta, atq;, ut ita dixerim, iam clausa esset: suis tandem rebus compositis eorum filii, ne à parẽtibus uiris optimis, quibusq; studiosi omnes maxime debent, degenerasse unq̃ uiderẽtur, eam aperire, ac etiam, quoquo modo possint, clariorem reddere decreuerunt. atq; ita, cum latinis libris q̃ castigatissime excudendis manus iam admouissent: ut quam prouinciam diis bene iuuantibus fuerant auspicati, ad felicem deniq; finem ipsi perducerent: græcos etiam, quotquot haberi possent, pulcherrimis ac emendatissimis formulis expressos, in cõmunem studiosorum utilitatem emittere statuerunt, & eorum in primis authorum, qui rem literariam summis semper uigiliis, studiis, ac laboribus excoluerunt, auxerunt, & illustrarunt: inter quos elegantissimi, & lucidissimi Themistii, q merito εὐφραδὴς à Græcis appellatur, nõ solum philosophicas paraphrases, sed orationes quoq; primum excudere, animo conceperunt, sperãtes se, q nõ modo summus fuerit philosophus, sed disertissimus etiam orator, rem gratam utilemq; facturos tam illis, qui philosophiæ operam daturi essent, q̃ his, qui oratoriis, humaniorumq; literarum studiis delectarentur. Qua de causa cum, ut tantum talemq; philosophum, suo pristino candori, & integritati, quantum in me esset, restituerem, diutissime rogassent: quo & eorum, & mea opera, eius libri quamemẽdatissimi prodirent, philosophiæ studia, quæ iandiu, auocante medicina, non remiseram modo, sed penè etiam omiseram, his diebus reuocare sum coactus: nec profecto illibenter. Quamuis enim multis uariisq; negociis essem occupatus, nec facile uiderem, quanam ratione possem tantum ocii surripere, quantum huic esset negocio necessarium: inurbanus tamen, ne dicam impius, uideri poteram, si meam operam, ut amicitiam, quæ nos arctissime coniungit, in præsentia omittam, hac in re illis denegassem: quorũ familia ea est meo iudicio, cui maxime debere nullus sit bonarum literarũ studiosus qui fateri, si non uelit, non debeat. Superioribus .n. sæculis inter alias Italiæ calamitates tetra quædam, turpisq; barbaries in hominum ingenia irruperat, tantamq; exercebat tyrannidem, ut si quis literarum bonarũ lumen uel procul, ac ueluti de nube prospiceret, is statim ab omnibus reiiceretur tanquam inutilis, & ad studia philosophiæ, medicinæ, cæterarumq; disciplinarum liberalium ineptus: ita ut necesse huic esset, qui nomen ali-

quod,aut authoritatem uellet in publicis gymnaſiis conſequi, ſolam affe-
ctare barbarié:doctior·n·ille habebatur,qui magis ineptiret·quòd ſiquis re
periebatur, qui hanc ingeniorum calamitatem miſeratus herculeo animo
immané illam beluam aggredi & confodere téptaret:illi ſtatim erat ſuccú-
bendum·&ſi·n·ſatis fortaſſe uirium,ingeniiq; habebat:arma tamé deerant,
quibus poſſet proſterni ac iugulari:cum multa bonorum authorum uolu
mina temporum calamitate ac iniuria periiſſent,multa carie corroſa, pul-
uere ſituq; obſita,ac ſemiputrida laterent, innumera etiam mutila,& men-
dis ferè infinitis ſcatentia circunferrentur:ut uix amplius ſperandum eſſet,
poſſe bonarum literarum ſtudia reuireſcere, aut refloreſcere · id quod ani-
maduertens Aldus,nunquam ſatis hac de re laudandus,ad ea erigenda,fo-
uenda,& augenda uires omnes,animumq; primus omnium intendit & ſta
tim magnis laboribus, ſummaq; induſtria nec minore ſumptu optimos
quoſq; libros ubiq; conquiſitos,& qua poterat maiori diligentia uariis in-
uicem collatis exemplaribus caſtigatos,pulcherrimis caracteribus excuſos,
ut uel hac ratione ad legendum homines inuitaret, publicandos quotidie
curauit:unde tantum rei literariæ attulit auxilii,ut continuo inſolens illa,
ineptaq; barbaries exploderetur:factumq; eſt, ut nunc non noſtris ſolum,
ſed barbaris etiam ipſis cœperit eſſe exoſa· Quamobrem ego ſane ingratus
admodú uideri poteram,niſi illis hoc in negocio morem geſſiſſem:quan-
uis illud non ſine laboribus multis, & cum aliquo etiam honoris mei pe-
riculo eſſet peragendum·nam & ſi plurium exemplarium mihi facta eſt co
pia,quæ omnia legiſſe fuit opus:ea tamen aliquibus in locis ita obſcura re
peri,ut cum mihi non plene ſatisfecerim , ne forte audax nimium iudica-
rer,nihil penitus immutare ſtatuerim,iudicio deinde doctiorum hominú
æſtimanda·Illud tamen præſtiti,quo in iuſtum uolumen liber hic excreſce
ret,ut Themiſtio Alexandri Aphrodiſienſis,quem ille ſæpiſſime ſectatur,
& imitatur,cómentariolos quoſdam,quanta potuit per me fieri diligentia,
à mendis compluribus, quibus dehoneſtabantur, repurgatos , addiderim,
duos de anima, & tertium de fato ad Antoninú & Seuerum imperatores:
qui quales ſint,ſi uelim nunc oſtendere, in caſſum laboraſſe facile uidear:
cú tu clariſſime,idemq; doctiſſime Gaſpar hæc philoſophica omnia opti
me noris:& quantæ illi ſint grauitatis,ex ſolo tátum authoris nomine late
poſſit patere· Hos tamen omnes,qualeſcunq; ſint,eo conſilio,antequá ede
rentur,ad te miſiſſe uolui,tua & humanitate fretus & beneuolentia, quam
ſemper erga me præteferre,quæ tua eſt maxima benignitas,dignatus es: cú
quia,ſi labor hic meus à te uiro laudatiſſimo fuerit laudatus, tuo nomine
tutus hilariori,ut ſic dicam,fronte in manus hominum prodire poterit:tú
quia non uideo cui magis Themiſtii libros commendem,uiri, qui ſuis té
poribus maximos magiſtratus in orbis principe ciuitate geſſerit,ſummiſq;
ſemper philoſophis omniú fere conſenſu ſit annumeratus, nec minor etiá
orator habitus:q̃ tibi,qui hac noſtra ætate omnium iudicio nulli uel anti-
quiſſimo,& grauiſſimo cedas philoſopho:quiq; in Veneta Rep· omnium
florentiſſima & potentiſſima,cum primum ad eam adminiſtrandam te có
tuliſti,ſis inter primarios recæptus: nec in merito ſanè : cum domi foriſq;
prudentiſſimus Senator , & ſapientiſſimus orator omnium clariſſima ſen-
tentia ſis,& habearis,ſed iam uideo,q̃ graue onus aggrediar : quodq; uires
meas longe ſuperet, ſi uelim tuas omnes laudes in præſentiarú complecti:
cum earum,id quod de Pompeii uirtute dicebat Cicero:difficilius ſit exi-
tum q̃ principium inuenire·qua de re hic ego dicendi finem faciam,ſi pri
us tamen illud te rogauero, ut ſiquis meas haſce uigilias momorderit , eas
tu innata tua humanitate,meq; ſimul tibi deditiſſimum,aut defendas,aut
ſaltem excuſes·id·n·effeci,quod potui· Vale·

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

## ΤΩΝ ΥΣΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.


Περὶ φυσικῆς ἀκροάσεως.
Περὶ ψυχῆς.
Περὶ μνήμης καὶ ἀναμνήσεως.
Περὶ ὕπνου καὶ ἐγρηγόρσεως.
Περὶ ἐνυπνίων.
Περὶ τῆς καθ' ὕπνον μαντικῆς.


## ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΙ.


| | |
|---|---|
| Βασανιστὴς ἢ φιλόσοφος. | α. |
| Εἰς τὸν αὐτοῦ πατέρα. | β. |
| Περὶ φιλίας. | γ. |
| Σοφιστής. | δ. |
| Ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος. | ε. |
| Περὶ φιληκοΐας τοῦ βασιλέως. | ϛ. |
| Προτρεπτικὸς Νικομηδεῦσιν εἰς φιλοσοφίαν. | ζ. |
| Πρὸς τὸν ἀξιώσαντα λέγειν ἐκ τοῦ παραχρῆμα. | η. |


## ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ.


Περὶ ψυχῆς βιβλίον ἕν.
Περὶ ψυχῆς βιβλίον ἕτερον.
Περὶ εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν πρὸς τὸν αὐτοκράτορα βιβλίον ἕν.


## THEMISTII PARAPHRASIS LIBRORVM ARISTOTELIS.


*Postremorum analyticorum.*
*De naturali auscultatione.*
*De anima.*
*De memoria & reminiscentia.*
*De somno & uigilia.*
*De insomnijs.*
*De diuinatione, quæ per somnum fit.*


## EIVSDEM ORATIONES OCTO.


| | |
|---|---|
| *Philosophus.* | 1. |
| *Ad eius patrem.* | 2. |
| *De amicitia.* | 3. |
| *Sophista* | 4. |
| *De humanitate imperatoris.* | 5. |
| *De facilitate principis ad audiendum.* | 6. |
| *Exhortatoria Nicomedensibus ad philosophiam.* | 7. |
| *Ad eum, qui rogauerat ut statum sermonem haberet.* | 8. |


## ALEXANDRI APHRODISIENSIS LIBRI.


*De anima unus.*
*De anima alter.*
*De fato & eo quod in nostra est facultate liber unus.*

ΘΕΜΙΣΤΙΟΥ ΣΤΙΧΟΙ ΕΙΣ ΕΑΥΤΟΝ, ὅτι ὕπαρχον αὐτὸν ἐποίησεν ὁ βασιλεὺς Ἰουλιανός.

Ἄντυγος αἰθερίης ὑπερήμενος, εἰς πόθον ἦλθες,
Ἄντυγος ἀργυρέης αἶσχος ἀπειρέσιον.
Ἦσθα κάτω κρείσσων. ἀνέβας δ' ἐγένου μέγα χείρων
Δεῦρ' ἀνάβηθι κάτω. νῦν γὰρ ἄνω κατέβης.

Pulcherrimum & facetiss. ascende infra. Nunc n. sursum descendisti

ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Θεμίστιος φιλόσοφος γεγονὼς ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου, ὑφ' οὗ καὶ ὕπαρχος προεβλήθη Κωνσταντινουπόλεως. γέγραφε δὲ τῆς Ἀριστοτέλους φυσικῆς ἀκροάσεως παράφρασιν ἐν βιβλίοις η, παράφρασιν τῶν ἀναλυτικῶν ἐν βιβλίοις β. τοῦ περὶ ψυχῆς, ἐν βιβλίοις γ. ἐν δὲ τούτῳ καὶ ἴδια παρεισήγαγε περὶ τοῦ σκοποῦ καὶ τῆς ἐπιγραφῆς τῶν κατηγοριῶν ἐν βιβλίῳ α καὶ διαλέξεις.

EX SOZOMENO, LIB. VIII. TRIPARTITAE HISTORIAE.

*Interea Valens in Antiochia Syriæ degens, consubstantialitatis cultores uehementer fuisset persequutus, nisi eum liber Themistij philosophi reuocasset, in quo perorauerat eum esse non oportere crudelem, propter discordiam ecclesiasticorum dogmatum: quando etiam apud Paganos plus q̃ trecentarum sectarum differentia uideretur, & unusquisque pro dogmate proprio in sententia diuersa consisteret. Et forte hoc Deo gratum magis esset, dum non facile cognoscitur, & diuerso modo glorificatur: ut unusquisque amplius timeat, dum integritatem eius scientiæ uel quomodo, aut qualis, quantusq; sit, magis ignorat. His ergo Themistij ratiocinationibus aliquantulo mitior factus est Imperator.*

# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

## ΤΩΝ ΥΣΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ

## ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Ἐμοὶ συντίθεσθαι μὲν ἐξηγήσεις τῶν ἀριστοτελικῶν βιβλίων μετὰ τοσούτους τε καὶ τοιούτους, οὐ δοκεῖ πόρρωθεν εἶναι φιλοτιμίας ἀνωφελοῦς. οὔτε γὰρ πολλά ἐστιν εὑρεῖν ἐλλελοιπότας τοὺς προτέρους, τό τε σμικρῶν ἕνεκεν παρεγχειρήσεων, ὁλοκλήρους καταβάλλεσθαι πραγματείας, ὅμοιον ἂν εἴη τὴν ἀθηνᾶν βουλομένῳ μετακινεῖν τὴν φειδίου, ὅτι τὰ δεσμὰ τῆς κρηπῖδος ᾤετο ἀμείνω ποιήσειν. τὸ μέντοι ἐκλαμβάνοντα τὰ βουλήματα τῶν ἐν τοῖς βιβλίοις γεγραμμένων, ᾗ δυνατὸν τάχει τε ἐξαγγέλλειν, καὶ τῇ συντομίᾳ τοῦ φιλοσόφου κατὰ δύναμιν παρομαρτεῖν, καινόν τε ἔδοξε, καί τινα ὠφέλειαν παρέξεσθαι. εὔκολον γὰρ ἔσεσθαι διὰ τοῦ τοιούτου τρόπου τὴν ἀνάμνησιν ὑπειλήφαμεν, τοῖς ἅπαξ μὲν τὰ ἀριστοτέλους μεμαθηκόσιν, ἀναλαμβάνειν δὲ αὐτὰ συνεχῶς τῷ μήκει τῶν ὑπομνημάτων οὐ δυναμένοις. τὸ δὴ πρότερον τῶν ὑστέρων ἀναλυτικῶν, οὕτω σαφηνίσαι προελόμενοι, ἐν πρώτῳ τὸν τύπον ποιούμεθα τῆς συγγραφῆς. σαφηνείας τε ἕνεκεν ἀκριβοῦς, καὶ φιλίας ἀληθινῆς. οὔτε λήσεσθαί τι τῶν μὴ δεόντως εἰρημένων, οὔτε κατασιωπήσειν πεπιστευκότες. πολλὰ μὲν οὖν ἔοικε τῶν ἀριστοτέλους βιβλίων, εἰς ἐπίκρυψιν μεμηχανῆσθαι. οὐχ ἥκιστα δὲ καὶ τὰ προκείμενα. πρῶτον μὲν, διὰ τὴν συνήθη βραχυλογίαν. ἔπειθ' ὅτι καὶ ἡ τάξις τῶν κεφαλαίων οὐ διακέκριται. ὥσθ' ἡμῖν ἀνάγκη συγχωρεῖν, εἰ τὰ μὲν φαινοίμεθα πλατύτερον ἑρμηνεύοντες, οὐ γὰρ οἷόν τε εἰπεῖν διὰ τῶν ἴσων σαφέστερον. τὰ δὲ, μεθαρμοττόμενοι καὶ μετατιθέντες, ὡς ἂν φαίνοιτο ἕκαστα τῶν κεφαλαίων περιγεγραμμένα. εἰ δ' ἐπί τινα καὶ συντομώτερον ἐπιδεδραμήκαμεν, οὐκ ἄξιον δυσχεραίνειν. ἔστι γὰρ τε χρησίμην ἔχει τὴν θεωρίαν, ἢ συντείνει δὲ ἄγαν, εἰς τὸν τῆς ἀποδείξεως λόγον, τούτοις οὐκ ἦν ἄξιον ἐνδιατρίβειν, τῷ ῥᾳστώνην ἐπινοῆσαι προελομένῳ τῆς κατανοήσεως τῶν χρησίμων.

1

Πρὸς πᾶσαν ἐπιστήμην καὶ πᾶσαν μάθησιν λογικὴν, τὸν μέλλοντα προσέξειν μὴ μάτην, ἀνάγκη φυσικάς τινας ἔχειν ἀρχὰς, δι' ὧν προγινώσκει τί τῶν τοῦ πράγματος. οὐ γὰρ οἷόν τε παρὰ τοῦ διδάσκοντος πάντα λαβεῖν, ἀλλὰ δεῖ τι καὶ οἴκοθεν φέρειν, εἰς τὴν μάθησιν συντελοῦν. οὕτω γὰρ καὶ παρὰ τοῦ γεωμέτρου μανθάνομεν, ὅτι σημεῖόν ἐστιν, οὗ μέρος οὐδὲν, ἐπειδὴ τοῦ μέρους ἔννοιαν προσκεκτήμεθα. καὶ παρὰ τοῦ ἀριθμητικοῦ, ὅτι περιττὸς ὁ διαιρούμενος εἰς τὰ ἄνισα, ἐπειδὴ τὰ ἄνισα προγινώσκομεν. καὶ οὐ μόνον γε τὰς ἐπιστήμας, ἀλλὰ καὶ τὰς τέχνας ἁπάσας, τοῦτον τὸν τρόπον περιποιούμεθα. οἰκοδομεῖν γὰρ μανθάνομεν, πηλοῦ καὶ λίθου προέχοντες τὴν γνῶσιν, σκυτοτομεῖν δ' αὖ, δέρματός τε καὶ σμίλης τὴν φύσιν προεπιστάμενοι. ναυπηγεῖσθαι ὁμοίως, ὑφαίνειν, χαλκεύειν. μάλιστα δὲ δῆλον, ἐπὶ τῶν διὰ λόγου τι διδασκόντων. ὥσπερ οἱ διαλεκτικοὶ καὶ οἱ ῥήτορες. κέχρηνται γὰρ, οἱ μὲν, ἐπαγωγῇ τε καὶ συλλογισμῷ. οἱ δὲ, ἐνθυμήματι καὶ παραδείγματι. ἐφ' ὧν ἀναγκαῖον ἢ τὰ καθ' ἕκαστα προγινώσκειν, ἢ τὰ λήμματα, ἢ τὰ ὅμοια. οὐ μόνον δὲ οἱ παρ' ἄλλων μανθάνοντες, ἀλλ' ὅσοι καὶ αὐτοί τι ζητοῦσιν, ἔχοντές τινα ἐναργῆ τε καὶ φανερὰ, ἐκ τούτων ὁρμῶνται πρὸς τὸ τὰ ἀφανῆ ζητεῖν, καὶ μὴ γνώριμα. ὥστε εἴπερ ἀληθῆ ταῦτα, πᾶσα ἂν διδασκαλία, καὶ πᾶσα μάθησις λογικὴ, ἐκ προϋπαρχούσης γίγνοιτο γνώσεως. μὴ θορυβείτω δὲ ἡμᾶς τὰ δι' αἰσθήσεως γινωσκόμενα, ἐφ' ὧν οὐδὲν προγινώσκειν ἀνάγκη. οὐ γὰρ διὰ μαθήσεως τὰ τοιαῦτα, οὐδ' ἐκ μεθόδου λογικῆς, παραγίνεται.

2

Ἐφ' ὧν τοίνυν προγινώσκειν ἐστί τι ἀναγκαῖον, ἐπὶ τούτων διχῶς οἷόν τε προγινώσκειν. τὰ μὲν γὰρ ὅτι ἐστὶν ἀναγκαῖον προϋπολαμβάνειν. τὰ δὲ, τί τὸ λεγόμενον ὄνομα ξυνιέναι δεῖ. ζητοῦντες μὲν γὰρ διατί τὸν σίδηρον ἡ λίθος ἕλκει, πρότερον, ὅτι ἕλκει γινώσκομεν. καὶ ζητοῦντες τί ἐστι κίνησις ἢ τί χρόνος, ἴσμεν ὅτι ἔστι κίνησις καὶ χρόνος. καὶ οὗτος μὲν, εἷς τρόπος τῆς προγνώσεως. ἐφ' ὧν δὲ αὐτὸ τοῦτο ζητοῦμεν, εἰ ἔστιν ἢ μὴ, καὶ μανθάνομεν. οἷον, εἰ ἔστι θεὸς, πρόσεστι πρόνοια, ἐπὶ τῶν τοιούτων τί σημαίνει τὸ λεγόμενον ὄνομα



De Phidiæ minerua pulchrum

οὐχ ἥκιστα

Initium operis

Non omnia possumus a præcepto re discere

πηλὸς intriti λίθου maceriei σμίλη subula

Caput 2m

ἐνθύμημα i. contatio hermolaus

λήμματα assumptiones her

προὔχειν ... ἐστί

πρόεισι μέχρι τινός. εἶτα κατ' ὀλίγον παύεται, μειουμένης ἐν τῇ διαδοχῇ τῆς δυνάμεως τῆς ἀπὸ τοῦ πυρὸς ἐνδοθείσης. οὕτω δὲ καὶ τὸν ἀέρα εἴποι τις ἂν καὶ τὸ ὕδωρ ἐπαμφοτερίζοντα ταῖς δυνάμεσι, καὶ μετέχοντα καὶ βαρύτητος καὶ κουφότητος. ἐφ' ὅπερ ἂν τοῦ φέρεσθαι τὴν ἀρχὴν παρὰ τοῦ ῥίψαντος καὶ τὸ ἐνδόσιμον λάβῃ, ἐκεῖνο λοιπὸν φέρεσθαι διὰ αὐτήν. καὶ οἷον αὐτοκίνητα γίνεσθαι χρόνον τινά, κινούμενά τε ἅμα καὶ κινοῦντα. κινούμενα δὲ οὐκέθ' ὑπὸ τοῦ βάλλοντος, ἀλλ' ὑπὸ τῆς οἰκείας δυνάμεως, ἧς τὸ ἐνδόσιμον παρὰ τοῦ ῥίψαντος ἔχει. ὥσπερ καὶ τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς θερμανθὲν καὶ ἀπελθόντος τοῦ πυρὸς οὐκ αὐτὸ μόνον θερμόν ἐστιν, ἀλλὰ καὶ τοῦ θερμαίνειν ἐπὶ πολὺ φυλάττει τὴν δύναμιν. οὕτως γὰρ ἄμεινον λέγειν, ἢ τὴν ἀντιπερίστασιν αἰτιᾶσθαι, ἣ γίνεται μὲν διὰ ἀνάγκης παρὰ τῶν ῥιπτουμένων. ἀντιμεθίσταται γὰρ ὁ ἀήρ. οὐ μὴν διὰ ταύτην ἡ κίνησις. καὶ γὰρ βαδιζόντων ἀντιπερίστασις. ἀλλ' οὐ διὰ ταύτην βαδίζομεν, ἁπλῆ τε ἐστὶ μετάστασις καὶ μεταχώρησις τῶν τόπων. δραστικὸν δὲ οὐδέν, οὔτε κινητικὸν ἡ ἀντιπερίστασις ἔχει. οὔτε γὰρ στενοχωρεῖται ἀντιμεθιστάμενος ἀὴρ ὥστε βιάζεσθαι καὶ προσωθεῖν. οὐδὲ γὰρ γίνεται πλείων ἐπὶ κατὰ τὴν ἀντιπερίστασιν. ἅμα τε γὰρ τὸ ῥιφθὲν ἀποθεῖται ὑπὸ τοῦ ῥίψαντος εἰς τὸ πρόσθεν. καὶ ἀντιπεριΐσταται ὁ ἀήρ, εἰς τὸ ὄπισθεν. τί οὖν αἴτιον τῆς μετὰ ταῦτα προόδου. φανερὸν δέ, ὅτι μὴ δὲ συνεχὴς ἡ τοιαύτη κίνησις. οὐδὲ γὰρ ἓν τὸ κινοῦν. ἀλλ' ἐχόμενα ἀλλήλων. ἀλλ' οὐδ' ὁμαλής. οὐ γὰρ ὁμοίως φέρεται ἐγγύς τε καὶ πόρρω τῆς ἀρχῆς. εἰ τοίνυν ὥσπερ ἐπὶ τῶν ῥιπτουμένων τὴν κίνησιν τις λέγῃ γίνεσθαι. εἴτε ὡς ἐπὶ τῶν ὠθούντων τε καὶ ἑλκόντων, οὐ συνεχὴς οὐδ' ὁμαλὴς οὕτω γινομένη κίνησις. ἐκεῖ μὲν τῶν ῥιπτουμένων, ὅτι ἄλλο καὶ ἄλλο τὸ κινοῦν. ἐκεῖ δὲ τῶν ὠθούντων τε καὶ ἑλκόντων, ὅτι εἰ καὶ ἓν τὸ κινοῦν, ἀλλὰ καθ' ἑκάστην ὦσιν ἢ ἕλξιν ἀρχή τις γίνεται, ἀναπαυομένου τοῦ ἕλκοντος καὶ ὠθοῦντος. οὐ γὰρ ἄπονον τὸ οὕτως κινοῦν. δῆλον οὖν, ὅτι ἀμερὲς τὸ πρῶτον κινοῦν, εἴπερ μὴ τῷ κινεῖσθαι κινεῖ, μὴ δὲ συμμεταβάλλει. ἀλλ' ἀεὶ δύναται κινεῖν. ἄπονον γὰρ τὸ οὕτως κινεῖν. καὶ ὁμαλὴς αὕτη κίνησις μόνη. οὐ γὰρ ἔχει μεταβολὴν τὸ κινοῦν οὐδὲ μίαν, δεῖ δὲ οὔτε τὸ κινούμενον πρὸς ἐκεῖνο ἔχειν μεταβολήν, ἵνα ὁμοία ἡ κίνησις ᾖ. ἀνάγκη δέ, ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι. τοιαῦται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δὲ ἡ τοῦ ὅλου κίνησις, ἐκεῖ ἄρα τὸ κινοῦν.



# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

## ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

### ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Περὶ ψυχῆς ὅσα δυνατὸν ἐστὶν ἐπιστήμην λαβεῖν, ἀκολουθοῦντας ἀριστοτέλει, πειρατέον ἡμῖν ἐν τῇδε τῇ πραγματείᾳ ἐκθέσθαι, τῶν τὰ μὲν, ἐκκαλύψαι. τοῖς δέ, συνεῖναι. τοῖς δέ, ἐπιστῆσαι. τὰ δέ, εἰ μὴ φορτικὸν εἰπεῖν, καὶ ἐξεργάσασθαι. καὶ γὰρ πολλῶν ὄντων συνταγμάτων, ἅ τις ἂν θαυμάσειεν ἀριστοτέλους, πάντων ἄγασθαι μᾶλλον προσήκει τὴν περὶ ψυχῆς πραγματείαν. καὶ τοῦ πλήθους ἕνεκεν τῶν προβλημάτων, ἃ μὴ δὲ ἐξαριθμήσασθαι μόνον οἱ πρὸ ἀριστοτέλους ἐξίκοντο, καὶ τῆς εὐπορίας τῶν εἰς ἕκαστον ἀφορμῶν. καὶ τῶν μεθόδων ὅσας ἐνδέδωκε τῇ θεωρίᾳ. δῆλον δὲ ἐξ αὐτῶν ἔσται τῶν λεγομένων. ¶ Φησὶ δὲ ἀρχόμενος εὐθὺς τοῦ λόγου, πᾶσαν μὲν γνῶσιν καὶ ἐπιστήμην καλὴν καὶ τιμίαν ὑπάρχειν. πλεονεκτεῖν δὲ ἑτέραν ἑτέρας, ἢ τῇ τῶν ἀποδείξεων ἀκριβείᾳ, ἢ τῇ τιμιότητι τῶν ὑποκειμένων πραγμάτων. ὃ πεπόνθασι πρὸς ἀλλήλας, γεωμετρία τε καὶ ἀστρονομία. τῆς μὲν γάρ, πλέον τὸ ἀκριβές. τῆς δέ, πλέον τὸ θαυμάσιον, διὰ τὴν ὑποκειμένην φύσιν, περὶ ἣν πραγματεύεται. ἐπεὶ μαλακώτεραί γε αἱ ἀποδείξεις ἀστρονομίας. τῷ γὰρ εἰκότι χρῆται ἐκεῖ πολλῶν. μόνῃ δὲ τῇ περὶ ψυχῆς ἐπιστήμῃ, συμφέρειν ἄμφω ταῦτα ἀνάγκη. καὶ νικᾶν αὐτήν, καὶ τῷ ἀκριβεῖ, καὶ τῷ θαυμασίῳ. τῷ μὲν ἀκριβεῖ, διότι καὶ ταῖς ἄλλαις ἐπιστήμαις παρὰ ψυχῆς ἡ ἀκρίβεια. τῷ θαυμασίῳ δέ, ὅτι σχεδὸν διὰ πάντων διήκει τῶν ὄντων ἡ τῆς ψυχῆς φύσις, ἀπὸ τῆς ἐσχάτης ἀρχομένοις τῆς φυτικῆς, μέχρι τῆς πρώτης. λέγω δὲ τοῦ νοῦ. ὃς εἴτε μόριος, εἴτε δύναμίς ἐστι τῆς ψυχῆς, εἴτε συγγενὴς ἄλλως καὶ ἐμφύεσθαι δυνάμενος, τί ἂν εἴη τῆς φύσεως ταύτης θαυμασιώτερον. τρίτον ἡμᾶς πρὸς τούτοις παρακαλεῖ πρὸς τὴν προκειμένην φροντίδα, ὅτι εἰ μὲν περὶ ἄλλου του μάθοιμεν τἀληθές, οὐκ ἔστιν ἡμῖν τὸ ἀληθὲς ἐκεῖνο, πρὸς τὰ λοιπὰ ὁρμητήριον. εἰ δέ τι περὶ ψυχῆς ἀληθὲς κατανοήσαιμεν, πάμμεγα ἂν ἐφόδιον εἴη ἐκεῖνο πρὸς σύμπασαν τὴν ἀλήθειαν. πρὸς γὰρ ἅπαντα τὰ μέρη τῆς φιλοσοφίας, ἀξιολόγους δίδωσιν ἀφορμάς. τὸ μὲν πρακτικόν, ὅτι τὰς ἀρετὰς αὐτῆς καὶ τὰς τελειότητας, οὕτως ἂν ὀρθῶς κατασκευασαίμεθα, εἰ τὴν οὐσίαν αὐτῆς πρότερον καταμάθοιμεν. τὴν δὲ περὶ φύσεως θεωρίαν, ὅτι πηγὴ καὶ ἀρχὴ πάσης κινήσεως ἡ ψυχή. ἴσως μὲν, καὶ πᾶσι τοῖς σώμασι. μάλιστα δὲ τοῖς τῶν ζώων καὶ τῶν φυτῶν. γινώσκουσα μὲν οὖν ἑαυτήν, ἀξιόπιστος καὶ περὶ τῶν ἄλλων. ὑπὲρ ἑαυτῆς δὲ ἀπατωμένη, περὶ τίνος ἂν ἄλλου πιστευθείη. Η μὲν οὖν χρεία τοσαύτη ἐστὶ τῆς προκειμένης θεωρίας. οὐ μὴν ῥᾷστόν γε τὸ ἔργον. ἀλλὰ καὶ σχεδὸν χαλεπώτατον. αὐτὸ γὰρ πρῶτον τὸ γνῶναι τί ἐστι καὶ τὸν ὁρισμὸν αὐτῆς ἀποδοῦναι, οὐ λίαν πρόχειρον, οὐδὲ εὐπετές. ὅλως μὲν γὰρ ἡ μέθοδος ἡ ὁριστική, τίς ποτέ ἐστι, καὶ κατὰ τίνα πρόεισι τρόπον, ἔτι καὶ νῦν παρὰ τοῖς φιλοσόφοις ἀμφισβητήσιμος. καὶ οὐ μόνον γε παρὰ τοῖς φιλοσόφοις, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν, ὅσοι τι διὰ λόγου διδάσκουσι. πάντες γὰρ ὁρισμῷ χρῆσθαι πειρῶνται. καὶ τοῖς μὲν, εἶναι δοκεῖ μία μέθοδος περὶ πάντων ὧν βουλόμεθα γνῶναι τὸν ὁρισμόν. ὥσπερ καὶ περὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων, μία μέθοδός ἐστιν ἡ ἀπόδειξις. τοῖς δέ, οὐ μία. ἀλλὰ κατὰ τὰς τῶν ὄντων διαφοράς, διαφόρους εἶναι καὶ τὰς περὶ τῶν ὁρισμῶν πραγματείας. ὃ τὴν χαλεπότητα τῆς σκέψεως μείζω ποιεῖ. δεήσει γὰρ λαβεῖν περὶ ἑκάστου τῶν ὄντων, τίς τρόπος οἰκεῖος. ἐκεῖνο δέ, εἰ καὶ μίαν τις εἶναι συγχωρήσειε τὴν ὁριστικὴν πραγματείαν, ἤτοι κατὰ διαίρεσιν, καθάπερ ἤρεσκε πλάτωνι, ἢ συνθέσει μᾶλλον, καθάπερ βούλεται ἀριστοτέλης. ἢ τρόπον τινὰ ἕτερον ἀποδείξεως, ὅμως οὐδὲν ἧττον ἀπαντᾷ. δεήσει γὰρ καὶ οὕτως ὑπὲρ ἑκάστου τῶν οἰκείων ἀρχῶν, εἰ μέλλοιμεν ξὺν ἐπιστήμῃ, τῆς φύσεως τοῦ πράγματος περιέσεσθαι. καὶ εἰς αὐτὴν χαλεπώτερον ὁ λόγος αὖθις

Aristotelis Laus

Intellectus qd

ἐφόδιον

Plato

Aristoteles

ῥήγνυται τὸ σῶμα, φθείρεται τὸ ζῶον. ἔφην δὲ καὶ πρότερον ἤδη, ὅτι τῶν πέντε αἰσθήσεων, αὕτη μὲν μόνη πρὸς τὸ ζῶον εἶναι ἀπόχρη. αἱ δὲ τέσσαρες, πρὸς τὸ εὖ εἶναι. ὥστε ἡ μὲν ἐκείνων φθορά, τοῦ εὖ εἶναι φθορά. ἡ δὲ τῆς ἁφῆς, τοῦ ζῶον εἶναι. ἐπεὶ ταύτην γε ὄψιν ἔχει τὸ ζῶον, οὐ διότι ζῶον· ἀλλ᾽ ὅτι ἐν ἀέρι διαιτώμενον, ἢ ὕδατι. ἢ ὅλως ἐν τῷ διαφανεῖ. τὴν δὲ γεῦσιν, ἵνα τὸ ἡδὺ καὶ τὸ λυπηρὸν διαγινώσκῃ, τὸ ἐν τροφῇ. καὶ τὸ μὲν, φεύγῃ. τὸ δὲ, διώκῃ. πρὸς μὲν γὰρ τὸ τρέφεσθαι μόνον, ἡ θρεπτικὴ δύναμις ἤρκεσεν ἄν, ὥσπερ καὶ τοῖς φυτοῖς. ἀκοὴν δὲ, διὰ τὸ πρὸς σημαίνεσθαί τι αὐτῷ. γλῶτταν δὲ, δυοῖν ἕνεκεν. καὶ τὴν γεῦσιν, καὶ πρὸς τὸ σημαίνειν ἑτέρῳ.

Θεμιστίου παράφρασις εἰς τὸ περὶ ψυχῆς ἀριστοτέλους.

τέλος.



# ΘΕΜΙΣΤΙΟΥ ΠΑΡΑΦΡΑΣΙΣ

## ΕΙΣ ΤΟ ΠΕΡΙ ΜΝΗΜΗΣ ΚΑΙ ΑΝΑΜΝΗΣΕΩΣ. ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Περὶ δὲ μνήμης, καὶ τοῦ μνημονεύειν, λεκτέον τί ἐστι, καὶ διὰ τίνα αἰτίαν γίνεται, καὶ τίνι τῶν τῆς ψυχῆς μορίων συμβαίνει τοῦτο τὸ πάθος, καὶ τὸ ἀναμιμνήσκεσθαι. οὐ γὰρ οἱ αὐτοί εἰσι μνημονικοὶ καὶ ἀναμνηστικοί. ἀλλ᾽ ὡς ἐπὶ τὸ πολὺ, μνημονικώτεροι μὲν οἱ βραδεῖς. ἀναμνηστικώτεροι δὲ, οἱ ταχεῖς καὶ εὐμαθεῖς. ἐπεὶ δὲ σαφέστερα τῶν ἐνεργειῶν τὰ ἐφ᾽ αἷς αἱ ἐνέργειαι, ὥσπερ ἐν τοῖς περὶ αἰσθητῶν καὶ αἰσθήσεως, ἐκ τῶν ὑποκειμένων τὸν λόγον ὡς μᾶλλον ἐναργῶν ἐποιησάμεθα πρῶτον, οὕτω δὴ κἀνταῦθα, πρῶτον μὲν σκεπτέον, ποῖά ἐστι μνημονευτά. πολλάκις γὰρ ἐξαπατᾷ τοῦτο. οὔτε γὰρ τὸ μέλλον ἐνδέχεται μνημονεύειν, ἀλλ᾽ ἔστι δοξαστὸν καὶ ἐλπιστόν. εἴη δ᾽ ἂν καὶ ἐπιστήμη τις ἐλπιστική, καθάπερ τινές φασι τὴν μαντικήν. οὔτε τὸ ἐνεστός. ἀλλ᾽ ἔστιν αἴσθησις τοῦ παρόντος. ταύτῃ γὰρ οὔτε τὸ μέλλον, οὔτε τὸ γεγονὸς γνωρίζομεν, ἀλλὰ τὸ παρὸν μόνον. λείπεται δὴ τὸ παρεληλυθὸς μνημονεύειν. καὶ ἔστιν ἡ μνήμη τοῦ γενομένου. τὸ δὲ παρὸν ὅτε πάρεστιν, οἷον τοδὶ τὸ λευκὸν ὅτε ὁρῶ, οὐδεὶς ἂν φαίη μνημονεύειν. οὐδὲ θεωρούμενον καὶ νοητὸν, ὁ θεωρῶν ἄρτι πρώτως καὶ νοῶν, μέμνηται. ἀλλὰ τὸ μὲν, αἰσθάνεσθαί φησι. τὸ δὲ, μανθάνειν καὶ εἰς ἐπιστήμην ἄγεσθαι. ὅταν δ᾽ ἄνευ τῶν ἔργων, ἔχῃ τὴν ἐπιστήμην καὶ τὴν αἴσθησιν, ἔργα δὲ λέγω, οἷον τοδὶ τὸ ζῶον. ἢ τοδὶ τὸ λευκόν. καὶ τὸ ἐν τῷδε τῷ βιβλίῳ τρίγωνον. προσούσης ἔτι τῆς εἰκόνος, τότ᾽ ἂν ἁπλῶς μεμνῆσθαι λέγοιτο. οὕτω μέμνηται τὰς τοῦ τριγώνου γωνίας, ὅτι δυσὶν ὀρθαῖς ἴσαι. καὶ τὸν σωκράτην. ὅτι λευκός. τὸ μὲν, ὅτι ἔμαθέ ποτε παρὰ τοῦδε ἐν τῷδε ἢ ἐθεώρησε. τὸ δὲ, ὅτι ἤκουσεν ἢ εἶδεν, ἤ τι τοιοῦτον. ἀεὶ γὰρ ὅταν ἐνεργῇ ἡ ψυχὴ κατὰ τὸ μνημονεύειν, τὸ δέ ἐστι θεωρεῖν τοὺς τύπους τῶν ἐν αὐτῇ πραγμάτων, μὴ καθ᾽ ἑαυτοὺς ἀλλ᾽ ὡς εἰκόνας ἑτέρων, συναισθάνεται χρόνου. οὕτω γὰρ λέγει, ὅτι πρότερον τοῦτο ἤκουσεν ἢ εἶδεν ἢ ἐνόησεν. ἔστι μὲν οὖν ἡ μνήμη, οὔτ᾽ αἴσθησις, οὔτε φαντασία, οὔτε τις ἑτέρα νόησις. ἀλλὰ τούτων τινὸς ἕξις ἢ πάθος, ὅταν προσλαμβάνηται χρόνος. καθ᾽ ὃν τὸ ἐγκατάλειμμα ἐγκαταλέλειπται. τοῦ δὲ νῦν ἐνεργοῦντος, ἢ ἐν τῷ νῦν ἐνέργεια, οὐκ ἔστι μνήμη, καθάπερ εἴρηται. ἔστι γὰρ τοῦ μὲν παρόντος αἴσθησις. τοῦ δὲ μέλλοντος, ἐλπίς. τοῦ δὲ γενομένου, μνήμη. διὸ, μετὰ χρόνου πᾶσα μνήμη. ὅθεν ὅσα χρόνου αἰσθάνεται, ταῦτα μόνα τῶν ζώων καὶ μνημονεύει, καὶ μορίῳ ψυχῆς οὐκ ἄλλῳ, ἢ ᾧ αἰσθάνεται. ὁ γὰρ πεπτωκὼς πέρυσιν εἰς τόνδε τὸν βόθρον ὄνος, σήμερον δὲ ἰδὼν καὶ ἀναγνωρίσας, μέμνηται ὅτι εἰς τόνδε τὸν βόθρον πέπτωκεν. διαφέρει μέντοι. ὁ μὲν γὰρ ἄνθρωπος πρὸς τῷ συναισθάνεσθαι ὅτε εἶδεν ἢ ἤκουσεν, οἶδε καὶ τὴν διαφορὰν πρὸς τὸ παρεληλυθότα τοῦ μέλλοντος. τὰ δ᾽ ἄλογα τοῦτο μόνον, ὅτι νῦν πίπτει, ἢ πάλαι πέπτωκεν. καὶ ὁ μὲν, ἑαυτοῦ συναισθάνεται μνημονεύοντος. τὰ δὲ, οὔ. καὶ τὰ μὲν τὴν φαντασίαν καθαρώτερα, μνημονικώτερα. ὡς μέλιτται καὶ περιστεραὶ καὶ τὰ ὅμοια. τὰ δὲ συγκεχυμένην ἔχοντα, ὡς μυῖαι, καὶ σκώληκες, ἀμνήμονα. ἀπορήσειε δ᾽ ἄν τις, εἰ δὴ τούτῳ μνημονεύομεν ᾧ καὶ αἰσθανόμεθα, οὐκ ἂν εἴη μνήμη τῶν νοητῶν. εἰ δὲ ἔστι, μνημονεύομεν γὰρ τῶν θεωρημάτων, καὶ τούτων μάλιστα τοῖς καθολικωτέροις ὁ νοῦς ἐνδιατρίβει, λέγεται μὴ μόνης τῆς αἰσθητικῆς ψυχῆς τὸ μεμνῆσθαι λέγειν, ἀλλὰ καὶ τῆς λογικῆς. ἢ τῶν μὲν αἰσθητῶν μνήμη καθ᾽ αὑτό, ὥσπερ καὶ φαντασία. τῶν δὲ νοητῶν, κατὰ συμβεβηκός. ὁ γὰρ νοῦς συμπλέκεται τῇ φαντασίᾳ, καὶ τῶν ἐν αὐτῇ παρὰ τῆς ἐνεργείας αἰσθήσεως γεγραμμένων τύπων, ἀποσυλᾷ τὰ καθόλου. καὶ ὥσπερ ἄνευ τῆς ἐνεργείας αἰσθήσεως οὐκ ἔστι φαντασία, οὕτως οὐδὲ ταύτης χωρὶς, λῆψις τοῦ καθόλου. εἰ δὲ τοῦτο, δηλονότι καθάπερ ἡ αἴσθησις καθ᾽ αὑτὸ μὲν ὁρᾷ τὸν ἐν ἀθλίαις γεγραμμένον ἐλέφαντα, κατὰ συμβεβηκὸς δὲ τὸν ἐν ἰνδίαις γενόμενον, ἢ ὥσπερ τόνδε τὸν σωκράτην ὁρῶντες, τὸν κοινὸν προσκυνοῦμεν καὶ δίκαιον ἄνθρωπον, οὕτω καὶ ἡ μνήμη, καθ᾽ αὑτὴν μὲν ἐνεργεῖ περὶ τοὺς ἐν τῇ φαντασίᾳ τύπους, καὶ τὰ ἐγκαταλείμματα. κατὰ συμβεβηκὸς δὲ, περὶ τὰ καθόλου. ὥστε ἔστιν

μνημονικοὶ
ἀναμνηστικοί

D̂. inter memoria et reminiscẽtia pollentes

Sensus, praesentis
Spes, futuri
Memoria praeteri

Muscae & vermes cur male memoris

Quomº intellectus pcipit universalia

Intellectũ annexũ ẽe phantasiae, sicuti phãtasiã sensui. Et sicuti phantasia sine sẽsu invalida, ita & intellectus sine phãtasia

ὑφ' ἑτέρας κινήσεως. Τεχνικώτατος δ' ἐστὶ κριτὴς ἐνυπνίων, ὅστις δύναται τὰς ὁμοιότητας θεωρεῖν. τὰς γὰρ εὐθυονειρίας κρίνειν παντός ἐστι. λέγω δὲ τὰς ὁμοιότητας, ὅτι παραπλήσια συμβαίνει τὰ φαντάσματα τοῖς ἐν τοῖς ὕδασιν εἰδώλοις, καθάπερ καὶ πρότερον εἴρηται. ἐκεῖ γὰρ ἂν μὴ ἠρεμῇ τὸ ὕδωρ, ἀλλὰ πολλὴ κίνησις γίνηται, οὐχ ὁμοία γίνεται ἡ ἔμφασις καὶ τὰ εἴδωλα τοῖς ἀληθινοῖς. κἂν τοῖς ὕπνοις δὲ ὅταν σφόδρα τυγχάνῃ καὶ συγκεχυμένη ἡ πρὸς τὴν καρδίαν καταφερομένη παλίρροια, οὔθ' ὁμοίους οὔτε καθαροὺς τοὺς τύπους ἐᾷ φαντάζεσθαι καὶ τὰ ἐγκαταλείμματα. ἡ γὰρ κίνησις ἐκκόπτει τὰς εὐθυονειρίας. δεινὸς δὲ ἑκάτερος ἔσται κριτής, ὅτε τὰς ἐμφάσεις συνορᾶν δυνάμενος, καὶ ταχὺ διαισθάνεσθαι ἐνοχλουμένῳ ὕδατι, καὶ τὰ περιφορημένα καὶ διεστραμμένα τῶν εἰδώλων, τοῖς ἀληθινοῖς προσβιβάζειν. οἷον ὅτι τόδε ἀνθρώπου, ἢ ἵππου· καὶ μὴ τοιούτου ὀφθέντος. καὶ ὁ ἐν τοῖς ὕπνοις αὐτὸ τοῦτο ποιεῖν δυνάμενος.

Τί μὲν οὖν ἐστιν ὕπνος, καὶ ἐνύπνιον, καὶ διὰ τίν' αἰτίαν ἑκάτερον αὐτῶν γίνεται, ἔτι δὲ περὶ τῆς τῶν ἐνυπνίων μαντικῆς, εἴρηται. περὶ δὲ κινήσεως τῆς κοινῆς τῶν ζώων λεκτέον.



ΘΕΜΙΣΤΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΣΑΝΙΣΤΗΣ Η ΦΙΛΟΣΟΦΟΣ.

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ΑΝοεῖτε ὅτι συνελέγητε ὑπ' ἐμοῦ τήμερον εἰς τὸ θέατρον τῶν μουσῶν, τί καὶ ἥκετε ἐκπεπληγμένοι; τί δέ, συνέχεσθε ὑπὸ θάμβους; ὅτι που ὑμῖν καινὸν καὶ ἀλλόκοτον καταφαίνεται, ἄνδρα τοῦ φιλοσοφίας ὀνόματος ἀξιούμενον, χθές τε ἀγείροντα, ἑωράκατε, καὶ νῦν καθήμενον ἐπὶ θρόνου τινὸς ὑψηλοῦ, μάλα σοφιστικῶς καὶ ἁβρῶς, μέλλοντα ὑμᾶς προκαλέσασθαι, ἀφ' ὧν ἂν λέγῃ, εἰς ἐκβοήσεις τε καὶ κρότους. οἷον θαῦμα ἀπολαύουσι παρ' ὑμῶν οἱ δαιμόνιοι σοφισταί. οὖν δὴ τοῦτο θαυμάζετε, εὖ ἴστε, ὅτι εἰκότως θαυμάζετε. τῷ ὄντι γὰρ οὐ φιλοσόφου οὔτε τὸ ἔργον, οὔτε τὸ ἐπιτήδευμα. ἀλλ' οὐκ ἐγώ τοι ὁ παραχαράττων καὶ πλημμελῶν. ἀλλ' ὁ τοῦτό μοι τὸ ὄνομα ἐξ ἀρχῆς περιθείς, καὶ διδάξας ὑμᾶς νομίζειν. ἐπεὶ τό γε ἀληθὲς οὐ ταύτῃ ἔχει. ἀλλ' ἐγὼ πατρὸς μὲν οἶδα ἐμαυτὸν γενέσθαι μάλα γενναίου τε καὶ ἀληθινοῦ φιλοσόφου. καὶ οὐκ ἀπιστῶ τῇ μητρί, καθάπερ ὁ Τηλέμαχος τῇ Πηνελόπῃ. φιλόσοφος δέ, οὔτε εἶναι ἡγοῦμαι, τούς τε ἡγουμένους, ἐξαπατᾶσθαι ὑπολαμβάνω. τί οὖν πράγματα ἔχουσι καὶ παρέχουσιν; ἰδοὺ γὰρ ὑμῖν διαρρήδην αὐτὸς ἐγὼ λέγω κατ' ἐμαυτοῦ ἐν κοινῷ θεάτρῳ, ὅτι τούτου μοι τοῦ ὀνόματος οὐδὲν προσήκει. ἀλλ' ὁ κατ' ἀρχὰς αὐτὸ ἐπιρρίψας, ὡς ἔοικεν οὐκ ἐσκέψατο, ὅτι οὐ μόνον ἀπόχρη τὸ γενέσθαι ἐκ πατρὸς φιλοσόφου, ἀλλὰ δεῖ καὶ τραφῆναι καὶ παιδευθῆναι ὑπὸ τοιούτοις διδασκάλοις τε καὶ τροφεῦσι. καὶ τὴν ψυχὴν ἀναπλησθῆναι ὅτι νέαν τε καὶ ἁπαλήν. οὕτω γὰρ δὴ μάλιστα ὁ τύπος εἴσοι τε καὶ ἐνδύοιτο ἐν τῷ βάθει, καὶ οὐκ ἂν μόνοι ἐπιπολῆς. τούτων δὲ οὐκ οἶδα ὅπως ἐγώ γε ἀπεστέρημαι, καὶ ταῦτα δύο πατέρων τυχὼν κορυφαίων, ὧν ὁ μὲν ἐγέννησεν, ὁ δέ, ἐξείλετο κηδεστήν. τῷ δὲ Ἀριστίππῳ ἐξήρκεσεν ὑπὸ μητρὶ μόνῃ φιλοσοφούσῃ τραφέντι μητροδιδάκτῳ κληθῆναι. ἴστε ἄρα ὃν λέγω Ἀρίστιππον. οὐκ ἐκεῖνον τὸν πάνυ τοῦ Σωκράτους ὁμιλητήν, ἀλλὰ τὸν ἐκείνου θυγατριδοῦν. ἀλλ' Ἀρίστιππον μὲν ὡς ἔοικεν ἠγάπα ἡ μήτηρ, καὶ τὰ μαθήματα ἐνέθηκε· συνῄδουσα ἀποδεῖξαι ἑαυτῆς μὲν ἄξιον καὶ τοῦ πάππου. ἐμὲ δὲ ἐμισείτην τὼ πατέρε τούτω καὶ ἀπηχθέσθην. ἢ ἐκείνω μὲν οὐκ ἐμισείτην· οὐ γὰρ οἶμαι θέμις ἄνδρας σοφούς τε καὶ μακαρίους τὰ ἔκγονα ἀπεχθαίρειν τὰ ἑαυτῶν. ἀλλ' ἐγὼ νωθής τις πρὸς παιδείαν ἔφυν καὶ ἀτεράμων. καί μοι σκληρίας ὑπὸ πλείων ξυνεπάγη τὸ ἐκμαγεῖον. ὥστε καὶ πάνυ βουλομένοις αὐτοῖς ἐγγράφειν μὴ δύνασθαι τὰ παιδεύματα. εἰ οὖν ταῦτα οὕτως ἔχει, παύσασθε, παύσασθε, καὶ ὑμεῖς ὦ μακάριοι τῆς πλάνης. παύεσθε ἤδη πρὸς τῶν μουσῶν, καί μοι τοῦ ὀνόματος τούτου μὴ πάνυ μεταδιδόναι. ἀλλ' εἰς μὲν τὸ ἔργον, ὃ δηλοῦν ἐθέλετε τῷ ὀνόματι, ξυνελαύνετε εἴπῃ δύνασθε, καὶ ξυνωθεῖτε. ὡς οὐδὲν μεῖζον ἄλλο τηλικοῦτον ἀγαθὸν ἐργάσεσθε. τῆς δὲ προσηγορίας, εἰ ἄρα ἀναγκαῖα ὑμῖν ἐνδιαιτᾶσθαι, ἑτέροις πρὸ ἐμοῦ ξυγχωρεῖτε. ἢ ἐγὼ καταγέλαστος ἔσομαι, καθάπερ χιτῶνα ἀλλότριον καὶ πολὺ μείζω ἠμφιεσμένος. καὶ ὀλίγοι εἴσονται τἀληθές, ὅτι ὑμεῖς ἄρα φιλόδωροι ὀνομάτων. ἀλλ' ἐμὲ ἐπιτηδεύειν ὑπολαμβάνοντες καὶ ἐπεμβατεύειν καὶ ἀφαρπάζειν, μὴ ἐθελόντων διδόναι. ἐγὼ δὲ οὐκ ἂν βουλοίμην ἄτοπόν τινα δόξαν ἐν ἀνθρώποις λαβεῖν. ἀλλ' εὖ ἴστε, ὅτι πρῶτος καταγελῶ τῶν τοιαύτην νόσον ξυνεχομένων. καὶ οἶμαι οὐδὲν μικρὸν διαφέρειν ἀνθρακέως τινὸς ἢ σιδηρέως, καπνοῦ γέμοντος καὶ μαρίλης. ἔπειτα ἀνθρακέως μέν, οὐκ ἀξιοῦντος καλεῖσθαι, ἀλλὰ καὶ πάνυ ἀγανακτοῦντος πρὸς τοὺς καλοῦντας, καὶ ἑτοίμου εἰ λάβοι τινὰς κατατέμνειν. μάντεως δὲ ἢ ἰατροῦ ἢ ἄλλου τοῦ σεμνοτέρου δημιουργοῦ. νεμεσῶ γὰρ καὶ τῷ ὄνῳ Αἰσώπου, ἀκούων ὅτι ὄνος ὤν, ὅμως ἠμπίσχετο λεοντήν. ταύτῃ τοι καὶ ξυνελθόντα παιδία ἐξέλκει τε αὐτὸν τοῖς ῥοπάλοις, καὶ ἀφαιρεῖται τῆς δορᾶς τε καὶ τοῦ φρονήματος. ἀλλ' ὅπερ λέγω, εἰ μὴ συγχωροίην ὑμῖν φιλόσοφος εἶναι, πάντως τέρας τὸ παρ' ἐμοῦ γινόμενον. ἐφεῖται γάρ που τῶν γε ἄλλων τῷ βουλομένῳ προσιέναι τε ἀθρόοις ὑμῖν, καὶ διαλέγεσθαι μετὰ πολλῆς ἐξουσίας, ἅτε καὶ ἐν εὐδαίμονι πόλει καὶ ἐλευθέρᾳ. ὥστε

Telemach
Penelope
Aristipp.
ἀτεράμων
ἀνθρακεῦς
σιδηρεῦς
Aesopi asin
Aristippi filia ǣ philosopha

κριτικόν. ἀλλ' εἶναι καὶ ταῦτα πάντα ἐν τῷ αὐτῷ. εἰς δύο δὲ ταῦτα ἀνάγονται αἱ δυνάμεις τῆς ψυχῆς· τό τε πρακτικὸν καὶ τὸ κριτικόν. ἀλλ' ἔστιν ἐν ᾧ τὸ θρεπτικὸν ἐν τούτῳ καὶ τὸ αἰσθητικόν. ἀνάγκη ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν εἶναι πᾶσαν τὴν ψυχήν. τὸ μὲν γὰρ θρεπτικόν, ἀρχὴ τῆς πρακτικῆς ψυχῆς· ταύτης γὰρ ταῦτά τε καὶ τὸ ὁρμητικόν. καὶ τὸ ὀρεκτικόν. τὸ δέ γε αἰσθητικὸν πάλιν ἀρχὴ τῆς κριτικῆς. τοῦ γὰρ κριτικοῦ καὶ τὸ φανταστικόν. ἔτι δὲ τὸ βουλευτικόν τε καὶ θεωρητικόν. ἀλλὰ μὴν περὶ τὴν καρδίαν ἄμφω ἐκεῖνα ὄντα ἐδείχθη. περὶ ταύτην ἄρα καὶ αἱ λοιπαὶ τῆς ψυχῆς δυνάμεις. περὶ καρδίαν ἄρα τὸ τῆς ψυχῆς τῆς ἐν τοῖς ζώοις τὸ ἡγεμονικόν. ἔστι δὲ ἐν ἑκατέρᾳ δυνάμει τῇ τε κριτικῇ καὶ τῇ πρακτικῇ, τὸ μὲν ὑπηρετικόν. τὸ δὲ ἡγεμονικόν. αἵ τε γὰρ κρίσεις ὑπηρεσίας ὀργανικῆς δέονται, τοιαῦτα γὰρ τὰ αἰσθητήρια. αἵ τε πράξεις καὶ αὗται δι' ὀργάνων ἐπιτελοῦνται. χεῖρες γὰρ καὶ πόδες πρὸς τὰς πράξεις ὄργανα φανερώτατα. τὰ δὲ λεγόμενα πρὸς δεῖξιν τοῦ τὸ ἡγεμονικὸν περὶ κεφαλήν τε καὶ ἐγκέφαλον εἶναι, τὰ μὲν ἐστὶ κενά. ὅσα δὲ ἔχεταί τινος πιθανότητος, τούτοις ἡ συμπάθεια τῶν ἐν τῷ τοῦ ζώου σώματι μορίων αἰτία τῆς πλάνης. πάντα γὰρ τὰ μόρια ἀλλήλοις ἐστὶν ἐν τῷ σώματι συμπαθῆ. ἅτε πρὸς ἓν ὄργανον καλῶς ἡρμοσμένα. διὰ γὰρ τὴν τοιαύτην συμπάθειαν ψηλαφωμένων τε τινῶν περὶ τὸν ἐγκέφαλον, γίνεταί τινα περὶ τὸν ἄνθρωπον πάθη, καὶ νοσούντων μὲν τῶν περὶ τὴν κεφαλήν, παραφροσύναι γίνονται, θεραπευομένων δέ, ἀποκαταστάσεις. ὥσπερ καὶ ἄλλων μορίων θεραπευομένων, ἄλλα ὑγιάζεται, οὐδὲν ἐκείνοις ἐοικότα. ἀλλ' οὐδὲ αἱ τῶν μορίων ἀφαιρέσεις ἃς ἐπί τινων ζῴων ποιοῦνται, δεικτικαὶ τοῦ προκειμένου. κοιναὶ γάρ εἰσι πρὸς ἀμφότερα. ὡς γὰρ καρδίας ἐξαιρεθείσης ἔνια ζῷα διαμένει ζῶντα πλείω χρόνον ὡς χελώνη καὶ χαμαιλέων. οὕτως καὶ κεφαλῆς ἀφαιρεθείσης τινῶν ζῴων, ἐπὶ πολὺ τὸ λοιπὸν σῶμα ζῇ. τὸ μᾶλλον δὲ καὶ ἑκάτερον αὐτῶν μένει, τὰς οἰκείας ἐνεργείας ἐνεργοῦν. τὸ μὲν οὖν ἡγεμονικὸν τῆς ψυχῆς ὡς δέδεικται, περὶ τὴν καρδίαν καθίδρυται. τὸ δὲ ὑπηρετικὸν καὶ εἰς τὰ ἄλλα τοῦ σώματος μόρια διατείνει. τότε γὰρ αἰσθητικόν, ὡς πᾶσαν τὴν σάρκα. ἀλλὰ καὶ τὸ τῆς κινήσεως διακονικόν, εἴς τε νεῦρα. καὶ τοὺς μῦς. δι' ὧν ὅλως τῶν μορίων ἡ κίνησίς τε καὶ μετάβασις τοῖς ζώοις γίνεται.



Qui locant in ca
pite & cerebro
principatū ani
mæ uariis ar
gumētis moueri

πιθανότης verisimili
tudo

συμπάθεια affectionis
consensus.

Testudo & chamæleo corde ablato
uiuūt multo tempore, sicuti & ablato
capite alia animalia



ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ ΠΕΡΙ ΨΥΧΗΣ. β'.

Περὶ ψυχῆς τί τέ ἐστι καὶ τίς αὐτῆς ἡ οὐσία καὶ τίνα αὐτῇ τὰ συμβεβηκότα, οὐ πρόχειρον οὐδὲ ἐκ τοῦ ῥᾴστου καταμαθεῖν. ἀλλ' ἔστι τῶν χαλεπωτάτων ἡ περὶ τούτων θεωρία. καίτοι τό γε εἶναι τὴν ψυχὴν γνωριμώτατον καὶ φανερώτατον. ἀλλ' ἔστι πολλὰ τῶν ὄντων, ἃ τὴν μὲν ὕπαρξιν ἔχει γνωριμωτάτην. ἀγνωστοτάτην δὲ τὴν οὐσίαν. ὥσπερ ἥ τε κίνησις καὶ ὁ τόπος. ἔτι δὲ μᾶλλον ὁ χρόνος. ἑκάστου γὰρ τούτων τὸ μὲν εἶναι γνώριμον καὶ ἀναμφίλεκτον τίς δέ ποτέ ἐστιν αὐτῶν ἡ οὐσία, τῶν χαλεπωτάτων ὀφθῆναι. ἔστι δὴ ἕν τι τῶν τοιούτων καὶ ἡ ψυχή. τὸ μὲν γὰρ εἶναί τι τὴν ψυχήν, γνωριμώτατόν τε καὶ φανερώτατον. τί δέ ποτέ ἐστιν οὐ ῥᾴδιον καταμαθεῖν. εἰ δὴ τὴν ἀρχὴν τοῦ περὶ αὐτῆς λόγου ἄνωθεν ἀρξάμενοι ποιησαίμεθα, ἀπὸ τῆς τοῦ ὄντος εἰς τὰ πρῶτα γένη διαιρέσεως. καὶ φανερὸν ὑπὸ τί τῶν γενῶν ἐστιν ἡ ψυχή, ἴσως ἂν τούτου κειμένου καὶ τὴν ὅλην οὐσίαν αὐτῆς λάβοιμεν. διαιρουμένου τοίνυν τοῦ ὄντος εἰς τὰ πρῶτα καὶ ἀνωτάτω γένη δέκα, ἕν τι τούτων καὶ τὴν οὐσίαν εἶναι φαμέν· ἧς τὴν μὲν σύνθετον λέγομεν. τῆς δὲ ἐξ ὧν ἡ συνθέτῳ τὸ εἶναι. σύνθετον μὲν οὖν οὐσίαν λέγομεν εἶναι ταύτην, ἧς τὸ δέ τι κατηγορῆσαι δυνάμεθα τὴν αἰσθητήν τε καὶ ἐνεργείᾳ οὖσαν. καὶ πᾶσι τοῖς ἄλλοις γένεσι τοῦ ὄντος ὑποκειμένην. οἷον τόνδε τὸν λίθον. τόδε τὸ ξύλον. τόνδε τὸν χρυσόν. τόδε τὸ πῦρ. καὶ ἕκαστον τῶν τοιούτων. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα πάντα, οὐσίαι σύνθετοι. ἔστι γὰρ ἐν αὐτοῖς τὸ μέν τι ὑποκείμενον ὃ ὕλην καλοῦμεν, δύναμιν ἔχον τοῦ εἶδός τι ἐν αὐτῷ δέχεσθαι. τὸ δὲ εἶδος ὃ δεξάμενον τὸ ὑποκείμενον ἀδιάφορον ὂν πᾶσι κατὰ τὴν αὐτοῦ φύσιν, ἐν οἷς ἐστι διάφορόν τε γίνεται καὶ ἤδη τὸ δέ τι. τὸ μὲν γὰρ ἄργυρος. τὸ δὲ χρυσός. τὸ δὲ πῦρ. τὸ δὲ ἄλλο τι. πάντα γὰρ ταῦτα ταὐτὸν ἀλλήλοις ὄντα κατὰ τὴν ὕλην τε καὶ τὸ ὑποκείμενον, κατὰ τὸ εἶδος ἔχει τὴν διαφοράν. ἀναλόγως γὰρ ὡς ἐπὶ τῶν κατὰ τέχνην γινομένων ἔχει, οὕτως ἡγητέον ἔχειν καὶ ἐπὶ τῶν φυσικῶν οὐσιῶν. ὥσπερ γὰρ ἐπὶ τῆς τέχνης τῆς ἀνδριαντοποιητικῆς φέρε εἰπεῖν, ὁ μὲν χαλκὸς ὑπόκειται πᾶσι τοῖς ἐξ αὐτοῦ γινομένοις ὑπὸ τοῦ τεχνίτου. τὰ δὲ κατὰ τὴν τέχνην εἴδη γινόμενα ἐν αὐτῷ, τῆς τε διαφορᾶς αἴτια. καὶ τοῦ τόδε τι εἶναι ἕκαστον αὐτῶν. τὸν μὲν δισκεύοντα. τὸν δὲ διαλούμενον. καὶ ἔστιν ἕκαστον αὐτῶν σύνθετον, ἔκ τε τοῦ χαλκοῦ καὶ τῆς τοιᾶσδε μορφῆς, οὕτως ἡγητέον ἔχειν καὶ ἐπὶ τῶν συνθέτων οὐσιῶν. καὶ γὰρ ἐν ταύταις, τὸ μέν ἐστιν ὑποκείμενον, τὸ δὲ εἶδος. καθὸ καὶ ἕκαστον αὐτῶν ἐστι τὸ δέ τι. τὸ μὲν ὕδωρ. τὸ δὲ ἀήρ. τὸ δὲ ἄλλο τι

Composita substa
tia qd

Pulcherrima cōp
ratio siue exēpl
ad ostendendum
qd sit forma & m
teria

καὶ κοινὸν τῆς εἱμαρμένης. οἷον ἁπλῶς ζώων, ἀνθρώπων. ἀλλ' ἐν τοῖς καθ' ἕκαστα Σωκράτει τε καὶ Καλλίᾳ. ἐν δὲ τούτοις ἡ ἰδία φύσις ἀρχὴ καὶ αἰτία τοιᾶσδε οὔσης τῆς κατὰ ταῦτα γινομένης τάξεως. ἕπονται γὰρ ταύτῃ ὡς ἐπὶ τὸ πᾶν καὶ οἱ βίοι, καὶ αἱ τῶν βίων γίνονται καταστροφαί, μὴ ἐμποδισθείσης ὑπό τινων. ὁρῶμεν γὰρ ὅτι καὶ τὸ σῶμα, τῷ τοιόνδε, ἢ τοιόνδε, ἐκ φύσεως εἶναι. καὶ ἐν νόσοις γίνεται καὶ ἐν φθοραῖς ἀκολούθως τῇ φυσικῇ συστάσει. οὐ μὴν ἐξ ἀνάγκης. ἱκανῶς γὰρ ἐκκρούουσαι τήνδε τὴν τάξιν, ἐπιμέλειαί τε καὶ ἀέρων ὑπαλλαγαί. καὶ προστάξεις ἰατρῶν καὶ συμβουλίαι θεῶν. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν παρὰ τὴν φυσικὴν κατασκευὴν, διαφόρους γινομένας καὶ τὰς πράξεις καὶ τὰς προαιρέσεις καὶ τοὺς βίους. ἦθος γὰρ ἀνθρώπων κατὰ τὸν Ἡράκλειτον δαίμων, τουτέστι φύσις. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ταῖς φυσικαῖς κατασκευαῖς τε καὶ διαθέσεσιν. καὶ τὰς πράξεις, καὶ τοὺς βίους, καὶ τὰς τῶν βίων καταστροφὰς ἀκολουθεῖν συμβέβηκεν. τῶν μὲν γὰρ ἀψιμάχων καὶ φιλοκινδύνων φύσει, βίαιός τις καὶ ὁ θάνατος ὡς ἐπὶ τὸ πλεῖστον. αὕτη γὰρ εἱμαρμένη τε καὶ φύσις αὐτοῦ. τῷ δὲ ἀκολάστῳ καὶ ἐν ἡδοναῖς ζῶντι, ὁ ἐν ταῖς ἀκρασίαις. καὶ τῷ καρτερικῷ, ὁ δι' ὑπερβολὴν πόνων κακοπαθειῶν. τῷ δὲ ἀνελευθέρῳ, ὁ ἐκ τῆς περὶ τὸ ἀδιάφορον σπουδῆς, δι' ἣν καὶ ἀδικοῦσι καὶ αὐτῶν ὀλιγωροῦσι. καὶ πονοῦσιν ὑπὲρ τὴν δύναμιν. διὸ [illegible] εἰώθασι καὶ ἐπὶ λέγειν τοῖς τοιούτοις, ὡς αὐτὸς αὑτῷ γέγονεν αἴτιος τοῦ θανάτου. τοιούτου δὲ ὄντος τοῦ καθ' εἱμαρμένην, οὔτε τὴν μαντικὴν εὑρήσομεν ἄχρηστον, ἔτι προορωμένην τί τὸ κατὰ φύσιν ἀποβησόμενον, καὶ βοηθοῦσαν διὰ τοῦ συμβουλεύειν τε καὶ κελεύειν ἐνίστασθαι τῇ τῆς φύσεως χείρονος ἀκολουθίᾳ. ἀλλ' οὐδὲ ἡ τῆς τύχης ἀναιρεθήσεται φύσις. ἀλλ' ἕξει τινῶν αἰτίων συμπιπτόντων τοῖς γινομένοις κατὰ προαίρεσιν. ἔτι δὲ μᾶλλον τὸ θεῖον καὶ αἱ ἐκ τούτου βοήθειαι. καὶ αἱ παρ' ἡμῶν εὐχαί τε καὶ δεήσεις, τὴν οἰκείαν χώραν φυλάξουσιν, ὄντος τοῦ τῆς εἱμαρμένης τοιούτου. ὁμολογήσει δὲ τούτοις καὶ τὸ λεγόμενον, ὅτι πολλὰ καὶ παρὰ μοῖραν γίγνεται καὶ παρὰ τὴν εἱμαρμένην. ὥς που καὶ ὁ ποιητὴς ἐμφαίνει λέγων. μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι. σώζοιτο δ' ἂν ἤδη ἡ δόξα, καὶ ὑπὸ τοὺς μάντεις, ἐν οἷς προλέγουσι μὴ πάντα ἐπιτυγχάνειν. εἰ δὲ μὴ τήνδε τὴν δόξαν περὶ τῆς εἱμαρμένης τοὺς ἀνθρώπους ἔχειν συμβέβηκεν, θαυμαστὸν οὐδέν. οἱ γὰρ πολλοὶ, τοῖς μὲν τύποις οὐ κακῶς περὶ τῶν πραγμάτων στοχάζονται, ἐν δὲ τῷ καθ' ἕκαστα καὶ ἐν τῷ διορίζειν τε καὶ δι' ἀκριβείας, πολλὰ διαμαρτάνουσι. τὸ μὲν γὰρ φύσεως. τὸ δὲ ἐπιστήμης ἔργον. ἤδη δὲ τοῦ τῆς εἱμαρμένης ὀνόματος Ἀριστοτέλης μνημονεύει, καὶ ἐν τῷ πρώτῳ τῶν μετεωρολογουμένων ὅπως. ἀλλὰ πάντων τούτων αἴτιον ὑποληπτέον, ὅτι γίγνεται διὰ χρόνων εἱμαρμένων. οἷον ἐν ταῖς κατ' ἐνιαυτὸν ὥραις χειμών. οὕτω περιόδου τινὸς μεγάλης μέρος χειμών. ἔοικε δὲ διά τε τούτων τὴν εἱμαρμένην τὴν φύσιν λέγειν, οὗτοι γὰρ εἱμαρμένοι χρόνοι. χειμῶνός τε καὶ τῶν ἄλλων. οἱ φυσικὰς τὰς αἰτιαποδόσεις ἔχοντες, οὐκ ἔχουσιν αὐτὸ ἀπαραβάτους καὶ κατηναγκασμένας. ἀλλὰ καὶ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκροάσεως, οὕτω πάλιν εἱμαρμένης μνημονεύει. ἄρ' οὖν καὶ γενέσεις εἰσὶ βίαιοι καὶ οὐχ εἱμαρμέναι αἷς ἐναντίαι αἱ κατὰ φύσιν. δι' ὧν πάλιν ὅτι τῷ τῆς εἱμαρμένης ὀνόματι ἐπὶ τῶν κατὰ φύσιν γινομένων χρῆται γνώριμον. εἰ γὰρ μὴ τῷ εἱμαρμένῳ ἐναντίον φησὶν εἶναι τὸ κατὰ φύσιν, τὸ δὲ παρὰ τὴν εἱμαρμένην τὸ καθ' εἱμαρμένην ἐναντίον, ταὐτὸν ἂν εἴη τῷ κατὰ φύσιν τὸ καθ' εἱμαρμένην. οὐ γὰρ δὴ πλεῖον οἷόν τε ἐστὶ ὄντι τῷ μὴ καθ' εἱμαρμένην ἐναντία λέγειν εἶναι. τότε καθ' εἱμαρμένην προδήλως ὂν, ἐναντίον αὐτῷ. καὶ τὸ κατὰ φύσιν, ἄλλο ὂν τοῦ καθ' εἱμαρμένην. φανερώτατα δὲ Θεόφραστος δείκνυσι, ταὐτὸν ὂν τὸ καθ' εἱμαρμένην τῷ κατὰ φύσιν ἐν τῷ Καλλισθένει. καὶ Πολύζηλος δὲ ἐν τῷ οὕτως ἐπιγραφομένῳ περὶ εἱμαρμένης συγγράμματι.

βίων καταστροφαί

ἦθος ἀνθρώπων δαίμων τουτέστι φύσις

αὐτὴ γὰρ εἱμαρμένη καὶ φύσις αὐτοῦ

Homer

Multi de rebus facete ternis recte sentiunt, introspicientes autē & accurate male

Aristoteles

μετεωρολογούμενα

Theophrastus

Polyzelus